horum ineſt, iſque erga amicum, perinde atque erga ſeipſum ſeſe gerit (eſt enim amicus alter) ipſe amicitia quoque eſſe horum aliquid videtur, & amici illi quibus hæc inſunt. Nam vtrum ergo ſeipſum amicitia ſit, nécne in præſentia omittamus. videretur autem eatenus eſſe amicitia, quatenus eſt duo vel plura ex iis quæ dicta ſunt: & quia exceſſus amicitiæ ſimilis eſt ei quæ erga ſeipſum eſt. At antedicta ineſſe videntur etiam pleriſque quamuis praui ſint nunquid tamen quatenus ſibi placent, probóſque ſe eſſe exiſtimant, eatenus participes eorum ſunt. Nam ex iis qui vehementer ſunt praui & facinoroſi, nemini hæc inſunt: quin ne videntur quidem. ferè autem neque prauis. diſſentiunt enim inter ſe, dum alia cupiunt, alia volunt, vt incontinentes, qui loco eorum quæ ſibi eſſe bona videntur, iucunda quidem eligũt, ſed noxia. alij autem ob ignauiam & ſegnitiem ab agendis iis deſiſtunt, quæ ſibi eſſe optima exiſtimant. At qui multa & grauia ſcelera perpetrarunt: & ob prauitatem odio habentur, & vitam fugiunt, ſéque ipſos interficiunt. Ac quærunt quidem improbi huiuſmodi alios, quibus cum diem traducant, & ſeipſos fugiunt: propterea quòd quando ſecum ſunt, multorum & grauium ſcelerum recordantur, atque alia huiuſmodi ſperant, quorum quando cum aliis verſantur, obliuiſcuntur: cúmque nihil in ſe amabile habeant, amicè erga ſeipſos nullo modo afficiuntur. Neque igitur collætantur, neque condolent huiuſmodi homines ſecum. ſeditione enim anima eorum agitatur: pars enim vna ob prauitatem dolet, cùm aliquibus abſtinet, altera lætatur, & quaſi diuellentes illa huc, hæc illuc trahit. & licet fieri nequeat vt ſimul doleat & lætetur quiſpiam, ſed paulo poſt tamen dolet, quia lętatus eſt: nollétque ea ſibi iucunda extitiſſe. pœnitentia enim praui pleni ſunt. Prauus ergo cùm nihil in ſe habeat amabile: neque erga ſeipſum amicè eſſe affectus videtur. Quod ſi ita ſe habere valde miſerum eſt, enixè fugienda prauitas eſt, dandáque opera vnicuique, vt probus euadat: ſic enim fiet vt & erga ſeipſum amicè eſſe affectus, & aliorum eſſe amicus poſſit.

## CAPVT V.

IAm verò beneuolẽtia eſt quidem ſimilis amicitiæ, amicitia tamẽ non eſt: quippe cum beneuolẽtia erga ignotos quoque,

A ὑπάρχειν τῷ ἐπιεικεῖ· πρὸς δὲ τὸν φίλον ἔ-
χειν, ὥσπερ πρὸς ἑαυτόν· ἔστι γὰρ ὁ φίλος ἄλλος
αὐτός· καὶ ἡ φιλία, τούτων εἶναί τι δοκεῖ·
καὶ φίλοι οἷς ταῦθ᾽ ὑπάρχει. πρὸς αὐτὸν δὲ
πότερόν ἐστιν ἢ οὐκ ἔστι φιλία, ἀφείσθω ἐπὶ τοῦ
παρόντος. δόξειε δ᾽ ἂν ταύτῃ εἶναι ἡ φιλία,
ᾗ ἐστὶ δύο ἢ πλείω ἐκ τῶν εἰρημένων· καὶ ὅτι
ἡ ὑπερβολὴ τῆς φιλίας, τῇ πρὸς ἑαυτὸν ὁ-
μοιοῦται. φαίνεται δὲ τὰ εἰρημένα καὶ τοῖς
B πολλοῖς ὑπάρχειν καίπερ οὖσι φαύλοις. ἆρ᾽
οὖν ᾗ ἀρέσκουσιν ἑαυτοῖς καὶ ὑπολαμβάνου-
σιν ἐπιεικεῖς εἶναι, ταύτῃ μετέχουσιν αὐτῶν;
ἐπεὶ τῶν γε κομιδῇ φαύλων καὶ ἀνοσιουργῶν,
οὐδενὶ ταῦθ᾽ ὑπάρχει, ἀλλ᾽ οὐδὲ φαίνεται.
σχεδὸν δὲ οὐδὲ τοῖς φαύλοις· διαφέρονται γὰρ
ἑαυτοῖς, καὶ ἑτέρων μὲν ἐπιθυμοῦσιν, ἄλλα
δὲ βούλονται, οἷον οἱ ἀκρατεῖς· αἱροῦνται γὰρ
ἀντὶ τῶν δοκούντων ἑαυτοῖς ἀγαθῶν εἶναι τὰ
C ἡδέα βλαβερὰ ὄντα· οἱ δ᾽ αὖ, διὰ δειλίαν
καὶ ἀργίαν ἀφίστανται τοῦ πράττειν, ἃ οἴον-
ται ἑαυτοῖς βέλτιστα εἶναι· οἷς δὲ πολλὰ καὶ
δεινὰ πέπρακται, καὶ διὰ τὴν μοχθηρίαν
μισοῦνται, φεύγουσι τὸ ζῆν, καὶ ἀναιροῦσιν
ἑαυτούς. ζητοῦσί τε οἱ μοχθηροὶ μεθ᾽ ὧν συν-
ημερεύσουσιν, ἑαυτοὺς δὲ φεύγουσιν· ἀναμι-
μνήσκονται γὰρ πολλῶν καὶ δυσχερῶν, καὶ
D τοιαῦθ᾽ ἕτερα ἐλπίζουσι, καθ᾽ ἑαυτοὺς ὄντες·
μεθ᾽ ἑτέρων δ᾽ ὄντες, ἐπιλανθάνονται, οὐθὲν
τε φιλητὸν ἔχοντες, οὐθὲν φιλικὸν πάσχουσι
πρὸς ἑαυτούς. οὐδὲ δὴ συγχαίρουσιν, οὐδὲ συν-
αλγοῦσιν οἱ τοιοῦτοι ἑαυτοῖς· στασιάζει γὰρ αὐ-
τῶν ἡ ψυχὴ καὶ τὸ μὲν, διὰ μοχθηρίαν ἀλγεῖ,
ἀπεχόμενον τινῶν· τὸ δὲ, ἥδεται· καὶ τὸ μὲν, δεῦ-
ρο· τὸ δ᾽, ἐκεῖσε ἕλκει ὥσπερ διασπῶντα. εἰ
E δὲ μὴ οἷόν τε ἅμα λυπεῖσθαι καὶ ἥδεσθαι, ἀλλὰ μετὰ
μικρόν γε λυπεῖται ὅτι ἥσθη, καὶ οὐκ ἂν ἐβού-
λετο ἡδέα ταῦτα γενέσθαι αὐτῷ· μεταμε-
λείας γὰρ οἱ φαῦλοι γέμουσιν. οὐ δὴ φαίνεται
ὁ φαῦλος οὐδὲ πρὸς ἑαυτὸν φιλικῶς διακεῖ-
σθαι, διὰ τὸ μηδὲν ἔχειν φιλητόν· εἰ δὴ τὸ οὕ-
τως ἔχειν, λίαν ἐστὶν ἄθλιον, φευκτέον τὴν μο-
χθηρίαν διατεταμένως, καὶ πειρατέον ἐπιει-
F κῆ εἶναι· οὕτω γὰρ καὶ πρὸς αὐτὸν φιλικῶς ἂν
ἔχοι καὶ ἑτέρῳ φίλος γένοιτο.

## Κεφάλαιον ε.

Η Δὲ εὔνοια, φιλίᾳ μὲν ἔοικεν, οὐ μὴν
ἐστί γε φιλία· γίνεται γὰρ εὔνοια καὶ πρὸς ἀγνῶτας, καὶ λανθάνουσα· φιλία δ᾽, οὔ.

καὶ πρό-